Ακαδημία Αθηνών / Academy of Athens



**ἐλαία.** Ἐλιά (καρπὸς τοῦ ἐλαιοδένδρου), olive, Ἐμπεδοκλῆς 79 *ᾠοτοκεῖ μακρὰ δένδρεα πρῶτον ἐ λ α ί α ς.*

**ἔλαιον.** Λάδι, olive oil, Ἐμπεδοκλῆς 91 *αὐτὰρ ἐ λ α ί ῳ οὐκ ἐθέλει.*

**ἐλάσσων 1** (ἀντίθ. *πλείω, μείζω*). Μικρότερος, smaller, Ζήνων 2.5 *μηδὲν ἔ λ α τ τ ο ν ἔσται* Ἐμπεδοκλῆς 98 *εἴτ' ὀλίγον μείζων εἴτε πλεόνεσσιν (?) ἐ λ ά σ σ ω ν* Ἀναξαγόρας 5 *πάντα οὐδὲν ἐ λ ά σ σ ω ἐστὶν οὐδὲ πλείω* 6.8 *ἐν τοῖς μείζοσί τε καὶ ἐ λ ά σ σ ο σ ι* 12.11 *καὶ ὅσα γε ψυχὴν ἔχει καὶ τὰ μείζω καὶ τὰ ἐ λ ά σ σ ω, πάντων νοῦς κρατεῖ* 12.28 *νοῦς δὲ πᾶς ὅμοιός ἐστι καὶ ὁ μείζων καὶ ὁ ἐ λ ά τ τ ω ν* Διογένης 6.32 *ἐ λ ά τ τ ω ν ἐκείνης* Δημόκριτος 11 *μηκέτι δύνηται μήτε ὁρῆν ἐπ' ἔ λ α τ τ ο ν μήτε ἀκούειν* **2** (ἀντίθ. *πλείω*). Ὀλιγότερος, lesser, Ζήνων 3.2 *οὔτε πλείονα αὐτῶν οὔτε ἐ λ ά τ τ ο ν α* Ἐμπεδοκλῆς 23.4 *ἁρμονίῃ μείξαντε τὰ μὲν πλέω, ἄλλα δ' ἐ λ ά σ σ ω.*

**ἐλάτη.** Ἔλατο, fir-tree, Ξενοφάνης 17 *ἑστᾶσιν δ' ἐ λ ά τ η ς <βάκχοι>.*

**ἐλαύνειν** (τύπ. *ἐλάειν*). Ὁδηγῶ, drive, Ἐμπεδοκλῆς 3.5 *ἐ λ ά ο υ σ α εὐήνιον ἅρμα.* ‖ **ἐλαύνεσθαι 1.** Φέρομαι/ἄγομαι, bear oneself/be led, Ἐμπεδοκλῆς 2.6 *πάντοσ' ἐ λ α υ ν ό μ ε ν ο ι* **2.** Καθορίζομαι/δεσμεύομαι, be determined/be bound, Ἐμπεδοκλῆς 30.3 *ὅς σφιν ἀμοιβαῖος πλατέος παρ' ἐ λ ή λ α τ α ι ὅρκον.*

**ἐλαφρὸς 1.** Ἐλαφρός, light, Παρμενίδης 8.57 *ἤπιον ὄν, μέγ' ἐ λ α φ ρ ὸ ν* **2.** Εὔκολος/ὑποφερτός, easy/bearable, Δημόκριτος 240.2 *οἱ ἑκούσιοι πόνοι τὴν τῶν ἀκουσίων ὑπομονὴν ἐ λ α φ ρ ο τ έ ρ η ν παρασκευάζουσι* 241 *πόνος συνεχὴς ἐ λ α φ ρ ό τ ε ρ ο ς ἑαυτοῦ συνηθείῃ γίνεται.*

**ἐλάχιστος.** Ἐλάχιστος, smallest, Δημόκριτος 141 *τὸ ἐ λ ά χ ι σ τ ο ν σῶμα.* ‖ **ὡς ἐλάχιστα.** Ὅσο τὸ δυνατὸν λιγότερο, as little as possible, Δημόκριτος 189 *ὡς πλεῖστα εὐθυμηθέντι καὶ ἐ λ ά χ ι σ τ α ἀνιηθέντι.*

**ἐλέγχειν.** Ἐλέγχω/ἀποδοκιμάζω, examine/reprove, Δημόκρι-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

τος 60 *κρέσσον τὰ οἰκήια ἐ λ έ γ χ ε ι ν ἁμαρτήματα ἢ τὰ ὀθνεῖα* 222 *ἡ τέκνοις ἄγαν χρημάτων συναγωγὴ πρόφασίς ἐστι φιλαργυρίης τρόπον ἴδιον ἐ λ έ γ χ ο υ σ α.* Πρβλ. *ἐξελέγχεσθαι.*

**ἔλεγχος.** Ἔλεγχος, test/contesting, Παρμενίδης 7.5 *κρῖναι δὲ λόγῳ πολύδηριν ἔ λ ε γ χ ο ν ἐξ ἐμέθεν ῥηθέντα.* Πρβλ. *ἐλέγχειν.*

**ἐλευθερία** (ἀντίθ. *δουλεία*). Ἐλευθερία, freedom, Δημόκριτος 226 *οἰκήον ἐ λ ε υ θ ε ρ ί η ς παρρησίη* 251 *τοσοῦτόν ἐστι αἱρετωτέρη, ὁκόσον ἐ λ ε υ θ ε ρ ί η δουλείης.*

**ἐλευθέριος.** Γενναιόδωρος, generous, Δημόκριτος 282 *χρημάτων χρῆσις ξὺν νόῳ μὲν χρήσιμον εἰς τὸ ἐ λ ε υ θ έ ρ ι ο ν εἶναι καὶ δημωφελέα.*

**ἐλεύθερος** (ἀντίθ. *δοῦλος*). Ἐλεύθερος, free, Ἡράκλειτος 53 *τοὺς μὲν δούλους ἐποίησε τοὺς δ' ἐ λ ε υ θ έ ρ ο υ ς.*

**ἐλίσσειν** (τύπ. *εἰλίσσειν*). Ἑλίσσω/περιστρέφω, twist/rotate, Παρμενίδης 1.19 *ἄξονας ἐν σύριγξιν ἀμοιβαδὸν ε ἰ λ ί ξ α σ α ι.* || **ἐλίσσεσθαι.** Ἐμπεδοκλῆς 17.25 *τὴν* (sc. *Φιλότητα*) *οὔ τις μετὰ τοῖσιν ἑ λ ι σ σ ο μ έ ν η ν δεδάηκε θνητὸς ἀνὴρ* 45 *κυκλοτερὲς περὶ γαῖαν ἑ λ ί σ σ ε τ α ι ἀλλότριον φῶς* 46 *ἅρματος ὡς πέρι χνοίη ἑ λ ί σ σ ε τ α ι.*

**ἕλκος.** Ἕλκος/πληγή, ulcer/sore, Δημόκριτος 281 *ὥσπερ ἐν τοῖς ἕ λ κ ε σ ι.*

**ἐλλείπειν.** Λείπω, be away, Δημόκριτος 191.3 *τὰ δ' ἐ λ λ ε ί π ο ν τ α καὶ ὑπερβάλλοντα.* Πρβλ. *ἔλλειψις.*

**ἔλλειψις** (ἀντίθ. *ὑπερβολή*). Ἔλλειψη, want/deficiency, Δημόκριτος 102 *ὑπερβολὴ δὲ καὶ ἔ λ λ ε ι ψ ι ς.* Πρβλ. *ἐλλείπειν.*

**ἔλλοπος.** Λεπιδωτός, mute, Ἐμπεδοκλῆς 117 *ἔξαλος ἔ λ λ ο π ο ς ἰχθύς.*

**ἐλπίζειν** (τύπ. *ἔλπεσθαι*). Ἐλπίζω/πιστεύω, hope/believe, Ἡράκλειτος 18 *ἐὰν μὴ ἔ λ π η τ α ι, ἀνέλπιστον οὐκ ἐξευρήσει* 27

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ